« Ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα καὶ τὸ γλαύκιον, αὐτό τε καθ' « ἑαυτὸ δι' ὀξυκράτου λυθέν· ἔτι τε μᾶλλον τὸ δι' αὐτοῦ συντιθέ« μενον ἡμέτερον φάρμακον· οὗ τὴν σύνθεσιν ἔχεις ἐν τῇ περὶ « τῶν φαρμάκων πραγματείᾳ λεγομένῃ· ἦσαν δέ μοι μέχρι δεῦρο « τρεῖς· ἥ τε περὶ τῶν ἁπλῶν, καὶ μετὰ ταύτην ἡ περὶ συνθέσεως « αὐτῶν· εἶθ' ἡ περὶ τῶν Εὐποριστων· ἔοικα δὲ καὶ τετάρτην « ἄλλην ποιήσειν, ἐπειδὴ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν, « ἐν ᾗ περὶ τῶν κοινῶν καὶ ἰδίων ἑκάστου μορίου καὶ πάθους « φαρμάκων ὁ λόγος ἔσται μοι.

Ὅτι μὲν οὖν ὁ Γαληνὸς δύο περὶ Εὐπορίστων συνετάξατο βιβλία, δῆλον ἐκ τούτων. Οἶμαι δὲ πεπονθέναι ταῦτα, ταὐτὸν τοῖς πολλοῖς τῶν νομικῶν βιβλίοις· Ἐκλογαὶ γὰρ τούτων οἱ μετέπειτα ποιούμενοι, συνοπτικὰς σφίσι πραγματείας συνετάξαντο· ἐξ οὗ καὶ ἔν τισι ἀντιγράφοις περγαμινοῖς λεγομένοις, καὶ τὴν λέξιν τοῦ Συντόμου Κώδικος ἀνέγνων, ὡς ἕτερον εἶναι τὸν κελεύσει Ἰουστινιανοῦ γεγραμμένον, καὶ ἕτερον τὸν συντετμημένον. Συντετμημένον δ' οἶμαι καὶ τὸν σωζόμενον Πανδέκτην, ἢ λατινικώτερον ἐπιγραφόμενον Δίγεστα, διὰ τὸ ὀλιγόστιχον, οὕτως εἰπεῖν, τῶν ἐν αὐτῷ φερομένων ζητημάτων· Τ' αὐτὸν δὲ συνέβη καὶ τοῖς μετὰ ταῦτα συνταχθεῖσι Βασιλικοῖς, τοῖς ἐκδοθεῖσιν ὑπὸ Φαβρώτου ἐν Παρισίῳ. Δείκνυται δὲ τὸ συνοπτικὸν τῶν Βασιλικῶν τούτων, ἐκ τῶν βιβλίων μθ΄ καὶ ν΄, να΄, νβ΄. ἐκδεδομένων τῷ αχξέ ἐν Λουγδούνῳ τῶν Βατάβων· ἐν τούτοις γὰρ κατ' ἀρχὰς δηλοῦται, μᾶλλον δ' ἐπιγέγραπται, τὸ βιβλίον τῶν Διγέστων, καὶ τοῦ Κώδικος, ἐξ ὧν ἕκαστα τῶν Βασιλικῶν οἱ περὶ τὸν αὐτοκράτορα Λέοντα ἐξελέξαντο· καὶ τὰ ἐν Λουγδούνῳ ἐκδοθέντα βιβλία τυγχάνει πληρέστερα· Ἀλλὰ καὶ τὸ ἀντίγραφον τὸ ὑπὸ Φαβρώτου ἐκδοθέν, ἐν πολλοῖς ἀτελὲς ὂν (1), ἔτι συντομώτερον πεποιήκασιν· Οἷον τὸ κατὰ

(1) Ὃν περ πίνακα τῶν τιτλώσεων, τῶν βασιλικῶν λέγω, δέδωκα τῷ σοφῷ Ἀκαδημαϊκῷ καὶ Νομικῷ κυρίῳ Ζειρώτῃ πρὸς θεωρίαν καὶ ἔκδοσιν, ἴσως τινὰ ἔλεγχον ἀκριβείας δώσει· τὸ γὰρ ἀντίγραφον τὸ Περγαμινὸν, ἐξ οὗ τοῦ τ' ἀντέγραψα τοῦ ιβ΄ αἰῶνος ἐφαίνετο. Ὃ δὲ μέρος τῶν βασιλικῶν νεωστὶ ἐξεῦρεν ὁ Γερμανὸς Ζαχαρίας, οὐκ οἶδα πῶς ἔχει, μήπω ἐκδεδομένον.

ΕΡΓΑΣΤΗΡΙΟ ΒΡΕΥΝΗΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Λ.Ι.Α. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

στοιχεῖον νόμιμον, οὗπερ ἀντίγραφον καὶ τοῦ δεκάτου αἰῶνος γινώσκω. Ἔπειτα δὲ οἱ μὲν εἰς πεντήκοντα τίτλους, οὗ καὶ ἀντίγραφον τοῦ αὐτοῦ σχεδὸν αἰῶνος εἶδον· οἱ δὲ εἰς τεσσαράκοντα· ὁ δὲ Ἀτταλιάτης ἔπειτα ἄλλως, Ἁρμενόπουλος ἄλλως, καὶ ἄλλοι ἄλλως συνέτεμον.

Αὐτὸ δὲ τοῦτο πεπόνθασι καὶ τὰ τῶν Ἰατρῶν συγγράμματα, συντεμνόμενα, καὶ περιτεμνόμενα, καὶ στενούμενα, σχεδὸν εἰς διστιχίαν, ἢ μονοστιχίαν τὰ φάρμακα περιῆλθεν. Ὅθεν ἄν τις καὶ περὶ τῶν Εὐπορίστων τοῦ Γαληνοῦ εἴποι, μηδένα ὑφορώμενος ἔλεγχον· Ἀδύνατον γὰρ τὸ περὶ Εὐπορίστων τοῦ Γαληνοῦ οὕτως ἐπιτετμημένως γεγράφθαι, ὡς τὰ τεμμάχια ἐν ταῖς ἐκδόσεσι φαίνεται. Πῶς γάρ; ὅς γε καταλέγει τὸ βιβλίον τοῖς περὶ Συνθέσεως τῶν φαρμάκων, τὸ πλῆρες πανταχόθεν ἔχουσιν; Ἀλλὰ καὶ τὰ ἐν τῷ ἐμῷ ἀντιγράφῳ Εὐπόριστα ἄχρι τοῦ ΙΓ βιβλίου οὕτω περιτετιλμένα φαίνεται· τὰ δὲ ἀπὸ τοῦ κεφαλαίου τούτου ἀρχόμενα ἄχρι τοῦ νθ' καλῶς οἱ ἀντιγραφεῖς διέσωσαν. Τὰ δὲ μετὰ ταῦτα πάλιν περιτέτμηται· ἄχρι τοῦ ρν' κεφαλαίου· τὰ γὰρ πρὸ αὐτοῦ, ἐξαιρουμένων τριῶν ἢ τεττάρων παρεμβεβλημένων, ἅπαντα θεωρῶ Γαλήνεια· τὰ δὲ μετὰ ταῦτα, οὐκ ἔτι. καὶ ταῦτα δὲ, ἐν πολλοῖς κακόγραφα, καὶ δεῖται ἐπανορθώσεως, ἐὰν μή τι ἐντελέστερον εὑρεθῇ.

Οἶμαι δὲ τὸ περὶ Εὐπορίστων τοῦτο εἶναι τὸ δεύτερον, ὃ ἀνωτέρω ἔλεγεν ποιήσειν ὁ Γαληνός· Ἐν γὰρ τῷ πρώτῳ ἔοικε περὶ Εὐπορίστων γράφων, μὴ διορίσασθαι ἕκαστον μόριον πάσχον. Διὸ καὶ ἀξιώσει φίλων εἰς γραφὴν τετάρτου κατέστη· Δείκνυται δὲ τοῦτο καὶ ἐκ τοῦ προοιμίου τοῦ δε τοῦ βιβλίου· φησὶ γάρ·

> « Τὴν ἐκ τῶν Εὐπορίστων φαρμάκων δύναμιν, ἀναγκαιοτάτην
> « εἶναι λογιζόμενος τοῖς ὁ τ ι ο ῦ ν μ έ ρ ο ς τοῦ σώματος πάσχου-
> « σιν, ἀναγράψω· »

Ἀλλ' ὡς ἔφην μικροκέφαλον τὸ βιβλίον καὶ μείουρον· ἔφην δ' ἀνωτέρω, ὅτι οὐκ ἂν ὁ Γαληνὸς τοιαῦτα παρακεκομμένα ἔγραφε· καὶ οἶμαι ἀληθῆ εἰρῆσθαι. Καὶ γὰρ καὶ ὁ Αἰγινήτης Παῦλος ἔγραφε τὴν ἑαυτοῦ πραγματείαν χρησίμην ἐσομένην τοῖς ὁδοιποροῦσι καὶ πλέου-

σιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ Γαληνὸς, ἀλλὰ πλήρη ταύτην ὁ ἐξ Αἰγίνης συνετάξατο· καὶ ἀνάγκη πᾶσα τὴν τοῦ ἐκ Περγάμου περικεκόφθαι.

Ἐγὼ δὲ καὶ ἑτέρῳ τινὶ Ἀντιγράφῳ ἐνέτυχον κατὰ τὴν ἐμὴν περιοδείαν, ἐπιγραφόμενον τῷ Γαληνῷ, οὕτω τοῦ λεκτικοῦ χαρακτῆρος εἰς τὸ χυδαϊκώτερόν πως μεταβεβλημένου, ὡς μηδὲ φαίνεσθαι ἂν τοῦ Γαληνοῦ εἶναι, μὴ προλόγου προκειμένου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΠΡΟΛΟΓΟΣ.

« Σύντομος Διδασκαλία τοῦ θαυμασιωτάτου Γαληνοῦ, τοῦ « σπεύσαντος γράψαι εἰς τὰ τῶν μορίων πάθη, ἀνίατά τε καὶ « δυσίατα, ὥστε γενέσθαι εὐΐατα. Καὶ πρῶτον μὲν κοινῷ λόγῳ, « καὶ κεφαλαιωδῶς εἰπεῖν, διδάξαντος περὶ τῆς τοῦ παντὸς σώ- « ματος ἐπιμελείας, εἶτα καὶ τὴν κατὰ τὸν πεπονθότα τόπον « γινομένην ῥαστώνην, ἥτις παρὰ τῶν Ἰατρῶν καλεῖται ὠφέ- « λεια, καὶ θεραπεία. Καὶ πρῶτον μὲν διδάσκει περὶ τῶν ἐκτὸς « παθῶν, ὅτι εἰσὶν εὐΐατα, εἶτα μέλλει καὶ περὶ τῶν ἐντὸς λέ- « γειν, δεομένων θεραπείας πολυχρονίου, καὶ ἐπιτηδείου Ἰατροῦ, « πρὸς τὸ μῆκος τῆς νόσου τοῦ πάσχοντος τόπου· Οἱ γὰρ ἐντὸς « πεπονθότες τόποι, γεγυμνασμένου δέονται Ἰατροῦ εἰς τὸ καλῶς « διαγιγνώσκειν τούτους· καὶ μέντοι καὶ πῶς ἔχει κράσεως ἕκα- « στον........

ὁ δὲ πρόλογος πέρας λαμβάνει οὕτω

« οὕτω καὶ ἐπὶ τῶν ἄλλων δυσκρασιῶν. Τἀναντία γὰρ τῶν ἐναν- « τίων Ἰάματα, κολάζοντα μὲν τὸ ὑπερβάλλον, ἀντεισάγοντα δὲ « τὸ ἐλλεῖπον. »

Προὔκειτο δὲ καὶ πίναξ περιέχον ρλδ´ κεφάλαια. Ἀπὸ κεφαλῆς δὲ ἄρχεται τὸ βιβλίον, καὶ κατιὼν μεταβαίνει, εἰ καὶ ἀτάκτως, καὶ ἐπὶ τὰ λοιπὰ μόρια, ἢ τόπους πάσχοντας· ὃν καὶ ἀντέγραψα ἐν τοῖς ἐμοῖς

Ε.Υ. ΔΩΔΩΝΗΣ Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

καταλόγοις, κἀνταῦθα παρατίθημι, οἷς μέλλω λέγειν μετὰ ταῦτα οὐκ ἄχρηστον.

## ΠΙΝΑΞ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΒΙΒΛΙΟΥ.


α' Πρὸς ὀξὺν πόνον κεφαλῆς.
β' Πρὸς πόνον κεφαλῆς καὶ ἡμικράνου.
γ' Πρὸς ζέσιν κεφαλῆς.
δ' Πρὸς ῥέουσαν ῥῖνα.
ε' Πρὸς πτύσιν αἵματος.
ς' Πρὸς Σκληρότητα σπλάγχνων.
ζ' Πρὸς πόνον ἥπατος καὶ δυσουρίαν.
η' Πρὸς Σκληρότητα σπληνὸς.
θ' Πρὸς ὀδύνην νεφρῶν.
ι' Πρὸς δυσηκοΐαν.
ια' Πρὸς αἷμα ῥέον ἐκ τῆς ῥινός.
ιβ' Εἰς τὸ γενέσθαι λευκοὺς τοὺς ὀδόντας.
ιγ' Πρὸς δυσωδίαν στόματος.
ιδ' Πρὸς πτύσιν αἵματος ἕτερον.
ιε' Πρὸς ἔμετον.
ις' Πρὸς δυσεντερίαν.
ιζ' Πρὸς ἕλμινθας.
ιη' Πρὸς οὐροῦντα ἑλκῶδες (1).
ιθ' Πρὸς οὐροῦντα αἷμα.
κ' Πρὸς φλεγμονὴν ἥπατος.
κα' Πρὸς σπλῆνας καὶ σκληρότητας.
κβ' Πρὸς αἱμοῤῥοΐδας ἢ ἐξοχάδας.
κγ' Πρὸς πόνον νεύρων.
κδ' Πρὸς αὔξησιν τριχῶν.
κε' Πρὸς τὰ γλυκέα ἢ ἀδένας.


(1) Ἀντὶ τοῦ, πυῶδες εἴληπται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κς' Πρὸς κεφαλαλγίαν ἐκ στομάχου.

κζ' Πρὸς τὸ μὴ μεθύειν.

κη' Πρὸς κατάῤῥουν.

κθ' Πρὸς δακρυῤῥοίαν.

λ' Πρὸς βῆχας.

λα' Πρὸς βραγχίασμα φωνῆς.

λβ' Πρὸς πλευρίτιδα.

λγ' Πρὸς φλεγμονὴν νεφρῶν.

λδ' Πρὸς ἀλφοὺς ἐν προσώπῳ.

λε' Πρὸς ἀπόστημα.

λς' Πρὸς τὸ καταβιβάσαι γάλα.

λζ' Πρὸς τὸ μὴ δυναμένην γεννῆσαι.

λη' Πρὸς δῆξιν ὄφεως καὶ ἐχίδνης.

λθ' Πρὸς κοιλίαν ῥέουσαν πολλά.

μ' Πρὸς δῆξιν κυνὸς λυσσῶντος.

μα' Πρὸς πόνον ὀδόντων.

μβ' Πρὸς σειομένους ὀδόντας.

μβ' Πρὸς ἔκκαυσιν μέλος τινός.

μγ' Πρὸς σειομένους ὀδόντας ἕτερον.

μδ' Πρὸς ποδαλγικούς.

με' Πρός τὸ στῆσαι αἷμα.

μς' Πρὸς ἀδυναμίαν στομάχου.

μζ' Πρὸς στρόφον.

μη' Πρὸς δῆξιν σκορπίου.

μθ' Πρὸς σπληναρίους καὶ ὀγκουμένους (1).

ν' Πρὸς κράτησιν φωνῆς.

να' Πρὸς τὸ μὴ διψᾷν.

νβ' Πρὸς ἐσοχάδας καὶ ἐξοχάδας.

νγ' Πρὸς ἐκβατά.

νδ' Πρὸς τὸ διῶξαι θηρία ἐξ οἰκίας.

(1) Ἀντὶ, Σπληνικούς.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νε΄ Πρὸς ἡμίκρανον.
νς΄ Πρὸς πιτυρίασιν κεφαλῆς.
νζ΄ Πρὸς Βουδῶνας.
νη΄ Εἰς τὸ ἀναβιβάσαι σάρκα.
νθ΄ Περὶ συνοχῆς.
ξ΄ Πρὸς φλεγμονὴν ὄρχεων.
ξα΄ Πρὸς ὠτία ῥέοντα αἷμα.
ξβ΄ Πρὸς ὠτία ἡλκωμένα.
ξγ΄ Πρὸς Βόμβον ὠτίων.
ξδ΄ Πρὸς Παρωτίδας, τὰ λεγόμενα χελωνικά.
ξε΄ Πρὸς αἷμα ῥέον ἐξ οὔλων.
ξς΄ Πρὸς οὖλα σεσηπότα στόματος.
ξζ΄ Πρὸς φλεγμονὴν τιτθίων.
ξη΄ Πρὸς στραγγουρίαν.
ξθ΄ Πρὸς ὕδερον.
ο΄ Πρὸς ἴκτερον.
οα΄ Πρὸς ἀποῤῥιφάς (2).
οβ΄ Πρὸς ἐρύθημα τοῦ λευκοῦ τῶν ὀφθαλμῶν.
ογ΄ Πρὸς δύσπνοιαν νέων, ἀνδρῶν, καὶ γερόντων.
οδ΄ Πρὸς κωλικὴν διάθεσιν.
οε΄ Πρὸς σκληρότητα ἥπατος.
ος΄ Πρὸς Ἰσχιακούς.
οζ΄ Πρὸς κράτησιν καταμηνίων.
οη΄ Πρὸς παρωνυχίδας.
οθ΄ Πρὸς οὔλην μελαινομένην.
π΄ Πρὸς τριχοῤῥοῖαν.
πα΄ Πρὸς ἀλωπεκίας καὶ ὀφιάσεις.
πβ΄ Περὶ ἐκψύξεως κεφαλῆς.
πγ΄ Πρὸς ἀμαύρωσιν ὀφθαλμῶν.
πδ΄ Πρὸς ὀδύνην ὀφθαλμῶν διὰ παχεῖς χυμούς.

(2) Ἀντὶ, ἐξαμβλώσεις.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πε' Πρὸς περιπνευμονίαν καὶ δύσπνοιαν.
πϛ' Πρὸς φθίσιν.
πζ' Πρὸς φθίσιν πνεύμονος.
πη' Πρὸς λοιμώδεις νόσους.
πθ' Πρὸς καρκίνωμα τιτθίων.
ϟ' Πρὸς ἀθρόαν αἱμοπτυΐαν.
ϟα' Πρὸς τοὺς διὰ ψύξιν ἀνορεκτοῦντας.
ϟβ' Πρὸς ἀνορεκτοῦντας διὰ κακοχυμίαν στομάχου.
ϟγ' Περὶ κενώσεως χολῆς ἄνωθεν καὶ κάτωθεν.
ϟδ' Πρὸς φλεγμονὰς ἐντέρων.
ϟε' Πρὸς ῥαγάδας ὄρχεων.
ϟϛ' Πρὸς πόνους ἁρμῶν.
ϟζ' Πρὸς ἔμβρυον θνησιμαῖον.
ϟη' Περὶ Ἰκτέρου, ἢ χρυσιασμοῦ, καὶ κιτρινάδας.
ϟθ' Περὶ ὀζοστομίας, ἢ δυσωδίας στόματος.
ρ' Πρὸς σῆψιν οὔλων.
ρα' Πρὸς ψύξιν γονάτων.
ρβ' Πρὸς δῆξιν ἐχίδνης.
ργ' Πρὸς κεφαλαλγίαν καὶ ἑτεροκρανίαν.
ρδ' Πάσμα σταλτικὸν τῶν κατὰ κεφαλῆς ῥευμάτων
ρε' Πρὸς πόνον ἡμικράνου ἕτερον.
ρϛ' Πρὸς φλεγμονὰς, καὶ ἀμβλυωπίας, καὶ ῥευματισμούς.
ρζ' Πρὸς ὀνδονταλγίας.
ρη' Ἕτερον.
ρθ' Ἕτερον.
ρι' Πρὸς πόνον παρισθμίων, καὶ βηχικόν.
ρια' Ἑτέρα μέθοδος πρὸς συνάγχην καὶ κυνάγχην.
ριβ' Πρὸς κατάῤῥουν.
ριγ' Πρὸς βῆχα χρόνιον.
ριδ' Πρὸς ὀδύνας ἰσχίων.
ριε' Κατάπλασμα εἰς τὸ αὐτό.
ριϛ' Πρὸς τεταρταῖον πυρετόν.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ριζ' Ἐπίθεμα πρὸς πυρετόν.
ριη' Περὶ τραυμάτων καὶ πληγῶν παντοίων.
ριθ' Ἕτερον ἄδηκτον εἰς πληγὰς φλεγμαινούσας.
ρκ' Πρὸς πᾶσαν πληγὴν ἄλειμμα.
ρκα' Ἕτερον ἀδηκτότατον.
ρκβ' Ἕτερον ἀδηκτότατον πρὸς ἄνθρακας.
ρκγ' Πρὸς πληγὰς φλεγμαινούσας ἕτερον.
ρκδ' Ἄλειμμα πρὸς πᾶσαν πληγήν.
ρκε' Ἄλειμμα πρὸς φλεγμαινούσας ἀπὸ σιδήρου πληγάς.
ρκϛ' Πρὸς ῥαγάδας χειλέων καὶ χειρῶν.
ρκζ' Ἕτερον ἄλειμμα.
ρκη' Ἑτέρα μέθοδος.
ρκθ' Ἑτέρα μέθοδος.
ρλ' Περὶ συναγωγῆς ἰχθύων.
ρλα' Πρὸς κνησμονὴν στομάχου.
ρλβ' Ἑτέρα μέθοδος διὰ λουτροῦ.
ρλγ' Περὶ ἐδεσμάτων.
ρλδ' Περὶ ποτῶν.
ρλε' Ἄλειμμα στομαχικόν.
ρλϛ' Περὶ ἀποφλεγματικῶν.
ρλζ' Πρὸς πόνον καὶ στρόφον στομάχου.
ρλη' Ποδαλγικά.
ρλθ' Κατάπλασμα πρὸς ὀδύνην Ἰσχίου.
ρμ' Πρὸς πόνον Ἰσχίων.

Οὕτω μὲν εἶχεν ὁ Πίναξ τῆς συντόμου πραγματείας, ὅν τις παραθεὶς πρὸς τὰ ἐκδεδομένα τεμμάχια τῶν Εὐπορίστων, κατίδοι ἂν πολλὴν ἐμφέρειαν ἔχοντα μὲν καὶ πρὸς αὐτά, ἀλλὰ καὶ πρὸς τὰ τοῦ ἐμοῦ ἀντιγράφου μᾶλλον, ἢ πρὸς τό, περὶ πεπονθότων τόπων τοῦ Γαληνοῦ· μάλιστα ἡ φαρμακοδοσία, ἐν οἷς μὲν συντομωτέρα, ἐν οἷς δὲ ποικιλωτέρα, εἰς τὰ πολλὰ μέντοι ἐταυτίζετο, πλὴν τοῦ λεκτικοῦ χαρακτῆρος, ὡς ἔφην, εἰς τὸ χυδαϊκώτερον μετενεχθέντος, καὶ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΤΗΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀταξίας τῶν κεφαλαίων· Δυνατὸν μέντοι ἐπανορθωθῆναι, εἴ τῳ βουλομένῳ εἴη, παρατεθέντα πρός τε τὰ τῆς Θεραπευτικῆς μεθόδου, καὶ πρὸς ἑκάτερα τῶν περὶ συνθέσεως φαρμάκων, καὶ πρὸς τὰ πρὸς Γλαύκωνα· Ἀνάγκη γὰρ ἐκεῖνα κατὰ διέξοδον γεγραμμένα, περιέχειν πως τὰ μετέπειτα συντετμημένα, ἢ καὶ μεταγραφέντα εἰς τὸ χυδαϊκώτερον.

Ἀλλ' ἐκ τοῦ προκειμένου Προλόγου τῆς παρούσης πραγματείας κατίδοι ἄν τις σαφῶς, ὅτι τὰ ἀπὸ τοῦ ιγ΄ κεφαλαίου τῶν ἐν τῷ ἐμῷ περὶ Εὐπορίστων ἀντιγράφῳ ἄχρι τοῦ νθ΄ οὐκ ἀπεικότως φέρει ἐπιγραφὴν Διάγνωσις περὶ τῶν ἕξεων (1) καὶ χρονίων παθημάτων. Οὐ γὰρ εὔλογον τὰ Εὐπόριστα τὸ ἕτερον μόνον τῶν παθημάτων περιέχειν· ἢ τὰ ἐκτὸς μόνον, καὶ μὴ τὰ ἐντός. Δεῖσθαι γὰρ λέγει ὁ Προλογῶν τὰ χρόνια πάθη γεγυμνασμένου Ἰατροῦ εἰς τὸ καλῶς διαγινώσκειν ταῦτα· Ἀλλὰ καὶ ἔγραψε ταῦτα ὁ Γαληνὸς πρὸς χρῆσιν Ἰατρῶν, οὐχὶ δὲ ὡς οἱ καθ' ἡμᾶς τῶν Ἰατρῶν δημοσιεύουσιν Ἰατρικὰς βίβλους ἐπιγραφομένας, θεραπείας ἄνευ Ἰατροῦ. Ἐπὶ γὰρ τῶν ἁπλῶν νοσημάτων, ἐξ ὧν οἱ ἄνθρωποι πάσχοντες, ἐθεραπεύθησαν, δυνατὸν καὶ τοιοῦτόν τι γενέσθαι προδιδαχθέντες ὑπὸ τῆς πρὸς ἑαυτοὺς παρ' Ἰατροῦ γενομένης θεραπείας, ἢ παρ' ἄλλου μαθόντες· ἐπὶ δὲ τῶν συμπεπλεγμένων, καὶ μάλιστα χρονίων, οὐκ ἄν τις αὐτὸς ἕκαστος θεραπεύσαιτο. Εἴη γὰρ ἂν, εἴπερ τὸ πάθος οὐκ ἂν ἐγένετο χρόνιον· Ἀλλὰ δεῖται Ἰατροῦ τοῦ διαγνωσομένου· καὶ τὰ μάλιστα ἐμπειροτάτου. Τῆς γὰρ διαγνώσεως καθάπαξ ἀσφαλῶς γενομένης, παρὰ πόδας ἐστὶν ἡ θεραπεία· καὶ οὐκ ἄν τις φαίη ἀχρηστεῖν ἐν Εὐροπίστοις φαρμάκοις τὴν Διάγνωσιν (2).

(1) Γράφε, ὀξέων.

(2) Οἰκοδομείτω τις Ἰατρεῖον· ἐχέτω καὶ μαθητάς· ἐχέτω καὶ ὄργανα, καὶ εἰσίτω πρὸς τοὺς κάμνοντας. Ἆρα ἀρκεῖ ταῦτα ποιῆσαι ἰατρόν; οὐδαμῶς· ἀλλὰ δεῖ τῆς Τέχνης, καὶ ταύτης ἄνευ, οὐ μόνον ταῦτα οὐδὲν ὠφελεῖ· ἀλλὰ καὶ βλάπτει. Τὸν γὰρ οὐκ Ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακα· ὁ μὲν οὖν μὴ ἔχων, οὔτε σώζει, οὔτε ἀπόλλυσιν· ὁ δὲ ἔχων ἀπόλλυσιν, οὐκ εἰδὼς, ὅπως χρήσηται·



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΣΗ: ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΑΝ. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Καὶ ταῦτα μὲν τὰ ἐμοὶ δοκοῦντα περὶ τῶν Εὐπορίστων τοῦ ἐξευρημένου μοι ἀντιγράφου. Εἰ δέ τῳ τῶν ἐλλογίμων Ἰατρῶν ἄλλο τι δόξει, λεξάτω τὰ αὐτοῦ, μὴ μέντοι ἁπλῶς, μὴ δ' ἄνευ ἀποδείξεως, φαίη ἂν ὁ Γαληνός.

Ἐπεὶ δὲ ἐν τῇ παρούσῃ Προθεωρίᾳ λέγων περὶ τῆς Διαλεκτικῆς τοῦ Γαληνοῦ, καὶ περὶ τῶν Εὐπορίστων, ἐμνήσθην καὶ ἄλλων αὐτοῦ ξυγγραμμάτων, οἷς ἐνέτυχον κατὰ τὴν ἐμὴν ἀποστολήν, ἔδοξέ μοι ὑποστορέσασθαι ἐνταῦθα καὶ τὸν κατάλογον τῶν τοῦ σοφοῦ τούτου Ἰατροῦ συγγραμμάτων, ὡς ἔχει ἐν τοῖς ἐμοῖς τῶν βιβλιοθηκῶν καταλόγοις, μήπω μὲν ἐκδεδομένοις, ἐκδοθησομένοις δ' εἰς νέωτα, ἢν τὸ θεῖον βούληται. Ἀντέγραψα δ' αὐτὸν, ὡς εὗρον ἐν Ἀντιγράφῳ Βομβικίνῳ τοῦ ιγ' αἰῶνος.

## ΤΑΞΙΣ ΤΩΝ ΠΡΑΓΜΑΤΕΙΩΝ ΤΟΥ ΓΑΛΗΝΟΥ ΚΑΤ' ΑΥΤΟΝ ΕΝ ΤΩ ΤΕΛΕΙ ΤΟΥ ΜΙΚΡΑ ΤΕΧΝΗ ΕΠΙΓΕΓΡΑΜΜΕΝΟΥ ΒΙΒΛΙΟΥ.

### ΤΑ ΧΩΡΙΣ ΤΩΝ ΚΑΤΑ ΔΙΕΞΟΔΟΝ ΠΡΑΓΜΑΤΕΙΩΝ ΒΙΒΛΙΑ.

| | |
|---|---|
| Περὶ τεχνῶν Συστάσεως, | βιβλ. α'. |
| Περὶ Συστάσεως τῆς Ἰατρικῆς, | βιβλ. α'. |
| Μικρὰ Τέχνη, | βιβλ. α'. |

### ΑΙ ΚΑΤΑ ΔΙΕΞΟΔΟΝ ΠΡΑΓΜΑΤΕΙΑΙ.

| | |
|---|---|
| Περὶ τῶν καθ' Ἱπποκράτην Στοιχείων, | βιβλ. α'. |
| Περὶ Κράσεων, | βιβλ. γ' |

ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος·

Ἰωάννης ὁ Χρυσόστομος, ὁμιλ. νδ' εἰς τὰς Πράξεις τῶν Ἀποστόλων.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ὧν τὰ μὲν δύο περὶ τῶν ἐν τοῖς ζῴοις κράσεων,
Τὸ δὲ τρίτον περὶ τῶν ἐν τοῖς φαρμάκοις·

| | |
|---|---|
| Περὶ τῆς ἀνωμάλου δυσκρασίας, | βιβλ. α΄ μικρόν. |
| Περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, | βιβλ. α΄ μικρόν. |
| Περὶ εὐεξίας, | βιβλ. α΄ μικρόν. |
| Περὶ τῶν φυσικῶν δυνάμεων, | βιβλ. γ΄. |

Ἣν Πραγματείαν, εἴτε μετὰ δύο περὶ κράσεων, εἴτε μετὰ τὸ περὶ Στοιχείων ἀναγινώσκοις, δύναιτ' ἂν ἕπεσθαι·

| | |
|---|---|
| Περὶ τῶν ψυχικῶν δυνάμεων, | βιβλία πολλά. |
| Περὶ τῶν ἀνατομικῶν ἐγχειρήσεων, | βιβλ. α΄. |

Πολλὰ τούτων προγυμνάσασθαι προσήκει ταῖς Ἀνατομῶν πραγματείαις.

| | |
|---|---|
| Περὶ Ἀνατομικῆς διαφωνίας, | βιβλ. β΄. |
| Περὶ τῆς τῶν τεθνεώτων Ἀνατομῆς, | βιβλ. α΄. |
| Περὶ τῆς τῶν ζώντων Ἀνατομῆς, | βιβλ. β΄ (1). |

(1) Θαυμάζω δὲ συνεχῶς ἀκούων τινῶν ἀμαθῶν κατὰ τὴν Εὐρώπην Ἰατρῶν λεγόντων, ὅτι οὐδέ ποτε σῶμα τεθνεὼς ἀνθρώπου ἀνέτεμεν ὁ Γαληνὸς, ἐμάνθανε δὲ τὴν ἀνατομὴν ἐν τοῖς τῶν Πιθήκων· Ἆρ' οὖν ἐνταῦθα τεθνηκότας καὶ ζῶντας τοὺς πίθηκας λέγει; Ἀλλὰ καὶ ἐξ ἱστορίας ἴσμεν τοὺς παρὰ Ῥωμαίοις θανάτῳ καταδικασθέντας κακούργους, ἐξῆν τοῖς Ἰατροῖς καὶ ζῶντας ἀνατέμνειν· Μάλιστα δὲ ὁ Χρυσόστομος ἐν ταῖς ὁμιλίαις, οὐκ ἄδικον ἡγεῖται τὸ ἔργον· ἐπεὶ γὰρ κακῶς ἐποίησαν, δίκαιον καὶ αὐτοὺς χρησίμους εἶναί τι ἀποθνήσκοντας· Καὶ ἔοικε τὸ ἔργον καὶ κατὰ τοὺς αὐτοῦ χρόνους πράττεσθαι· Ἀλλὰ σκληρὸν νὴ δίαγε, καὶ ἥκιστα ἀνθρώπινον, τὸ οὕτω βασανίζειν ζῶν τὸ ὁμόφυλον. Πρὸς τῷ μηδέ τι μέγα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΕΠΕΑΕΚ. τ.Σ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

Περὶ ὀστέων τοῖς εἰσαγομένοις, βιβλ. α΄ (1).

Ἀνατομὴ μυῶν, καὶ νεύρων, καὶ ἀρτηριῶν, καὶ φλεβῶν, βιβλία τινὰ κατὰ μέρος, καί τινα ἕτερα τῶν τοιούτων, καὶ εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις τὸ αἷμα.

Περὶ Μυῶν κινήσεως, βιβλ. β΄.

Ὑποδεικνύντα τὰς ἐνεργείας αὐτῶν·

Περὶ Θώρακος καὶ Πνεύμονος, βιβλ. γ΄.
Περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων, βιβλ. α΄.
Περὶ φωνῆς (2), βιβλ. α΄.
Περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων, βιβλία πολλά.

Ἐν οἷς περὶ Ἡγεμονικοῦ καὶ τῶν ἄλλων, ὅσα περὶ φυσικῶν, ἢ ψυχικῶν ἐνεργειῶν ζητεῖται, δηλοῦται. Εἴρηται δὲ καὶ ἐν τούτοις ἐπὶ πλεῖστον περὶ τῆς τῶν δυνάμεων οὐσίας, καὶ περὶ πνεύματος, ὡς αὐτὸς ἐν τῷ ιβ΄ τῆς Θεραπευτικῆς μέμνηται.

ὄφελος ἐντεῦθεν παρακολουθεῖν πρὸς ἀληθῆ περίνοιαν τῶν σωματικῶν ὀργάνων. Οὐ γὰρ σώζει ταῦτα τὴν φυσικὴν κατάστασιν, οὕτω δεινῶς πάσχοντος τοῦ καταδίκου, ἀλλ᾽ ἐξαλλοιοῦται, παλλόμενα, συστελλόμενα, σπώμενα, καὶ ἀλλοίαν διάθεσιν ἔχοντα τῶν ἐν τῷ ζῶντι· Ἀλλὰ τοῦτο μὲν φυσιολογικωτέρας Θεωρίας, τὸ δὲ λέγειν τὸν Γαληνὸν μὴ ἀνατεμεῖν σῶμα ἀνθρώπινον, οὐκ ἀνεγνωκότος ἐστὶ τὰς Πραγματείας τοῦ σοφοῦ Γαληνοῦ.

(1) Εἴρηται ἀνωτέρω, ὅτι ἐνέτυχον καὶ τούτῳ.

(2) Λέγει τι κἂν τῇ Παρούσῃ Εἰσαγωγῇ Διαλεκτικῇ περὶ φωνῆς, ὅτι καὶ τὰ κατ᾽ αὐτὴν ὑπόκειται τῇ Ἰατρικῇ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Β.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Περὶ Σπέρματος, | βιϐλ. α'. |
| Περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, | βιϐλ. α'. |
| Περὶ χρείας μορίων, | βιϐλ. α'. |
| Περὶ πεπονθότων τόπων, | βιϐλ. ϛ'. |

Εἰς διάγνωσιν τῶν νοσημάτων.

| | |
|---|---|
| Περὶ χρείας ἀναπνοῆς, | βιϐλ. α'. |
| Περὶ χρείας σφυγμῶν, | βιϐλ. α'. |
| Περὶ Σφυγμῶν, | βιϐλ. δ'. |

Ὧν Πρῶτον περὶ τῆς διαφορᾶς αὐτῶν.
Δεύτερον τὸ τῆς Διαγνώσεως·
Τρίτον τὸ περὶ τῶν ἐν τοῖς Σφυγμοῖς αἰτίων·
Τέταρτον τὸ περὶ τῆς διὰ Σφυγμῶν προγνώσεως.

| | |
|---|---|
| Τέχνη· ἢ περὶ Σφυγμῶν Ἐπιτομή, | βιϐλ. α'. |

Τοῦτο ἐνόησε μὲν ὁ Γαληνὸς ποιῆσαι
Τὸ βιϐλίον, οὐχ ἐποίησε δέ·

| | |
|---|---|
| Ἐξήγησις τοῦ περὶ Σφυγμῶν Ἀρχιγένους βιϐλίου. | βιϐλ. α'. |
| Περὶ τῶν Κρισίμων ἡμερῶν, | βιϐλ. α'. |
| Περὶ Κρίσεως, | βιϐλ. α'. |

Εἰς προγνώσεις χρησιμώτατον (1)

(1) Ἐσημειωσάμην πάλαι ἐκ τοῦ ἐν τῇ βασιλείῳ βιϐλιοθήκῃ Ἀντιγράφου 3104 τὰ ἑξῆς Ἀπὸ τοῦ Γαληνοῦ·

« Ἔστω γὰρ, ἀποκυϊσκομένου τινὸς, ἐν μὲν τῷ Κριῷ τοὺς ἀγαθο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δήτης Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Περὶ Δυσπνοίας, βιβλ. α΄.

Εἰς διαγνώσιν τῆς παρούσης διαθέσεως, καὶ πρόγνωσιν τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν περὶ τὸν κάμνοντα.

Περὶ τῶν προκαταρκτικῶν αἰτίων, βιβλ. α΄.
Περὶ τῆς Ἰατρικῆς ἐμπειρίας, βιβλ. α΄.
Περὶ τῆς Λεπτυνούσης Διαίτης, βιβλ. α΄ (1).
Περὶ φλεβοτομίας πρὸς Ἐρασίστρατον, βιβλ. α΄.
Περὶ τῶν παρὰ φύσιν ὄγκων, βιβλ. α΄.
Περὶ Πλήθους, βιβλ. α΄.
Ἕτερά τινα τοιαῦτα.
Περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, βιβλ. α΄.
Περὶ αἰτίας τῶν νόσων, βιβλ. α΄.

« ποιοὺς, ἐν δὲ τῷ Ταύρῳ τοὺς κακοποιοὺς εἶναι. Πάντως οὗτος ὁ ἄνθρω-
« πως, ἐπειδὰν μὲν ἐν Κριῷ, καὶ Καρκίνῳ, καὶ Ζυγῷ, καὶ Αἰγοκέρωτι
« γένηται ἡ Σελήνη, καλῶς ἀπαλλάττεται. Ἐπειδὰν δ' ἤτοι τὸν Ταῦρον
« αὐτὸν, ἤ τι τῶν τετραγώνων, ἢ τὴν Διάμετρον αὐτοῦ Ζώδιον ὑπέχει,
« κακῶς τηνικαῦτα, καὶ ἀνιαρῶς διάγει. Καὶ δὴ καὶ νοσημάτων ἀρχαὶ,
« κάκισται μὲν ἐν Ταύρῳ, καὶ Λέοντι, καὶ Ὑδροχόῳ, καὶ Σκορπίῳ τῆς Σε-
« λήνης οὔσης· ἀκίνδυνοι δὲ καὶ σωτήριοι, τὸν Κριὸν, καὶ τὸν Καρκῖνον,
« καὶ τὸν Ζυγὸν, καὶ τὸν Αἰγόκερων διερχομένης. Καὶ τὰς ἀλλοιώσεις οὖν
« τὰς μεγάλας, ἃς ἐν τοῖς τετραγώνοις τε καὶ Διαμέτροις ἔφαμεν γίνεσθαι
« καθ' ἑβδομάδας, ἐν μὲν τοῖς ὀλεθρίοις νοσήμασιν ὀλεθρίας καὶ αὐτάς· ἐν
« δ' αὖ τοῖς περιεστηκόσιν, ἀγαθὰς ἀνάγκη γίγνεσθαι. »

Καὶ ταῦτα μὲν ἐκ τοῦ Ἀντιγράφου 1043· ἐγὼ δὲ καὶ βιβλίῳ ἀνωνύμῳ ἐνέτυχον κατὰ τὴν ἐμὴν ἀποστολὴν, ἐπιγραφὴν φέροντι τοιάνδε·

« Σύντομος Πραγματεία περὶ τῆς κριτικῆς Ἀστρολογίας, ἣ δοκεῖ πως
« χρησιμεύειν εἰς τὰς περὶ νοσημάτων κρίσεις. »

(1) Εἴρηταί μοι ἀνωτέρω, ὅτι ἐνέτυχον τῷ βιβλίῳ τούτῳ ἐν Ἀντιγράφοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΠΕΤΣΙΟΣ
Ε.Υ. ... Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

Περὶ Συμπτωμάτων διαφορᾶς, βιβλ. α'.
Περὶ Συμπτωμάτων αἰτίας, βιβλ. γ'.
Περὶ τῆς τῶν Ἁπλῶν φαρμάκων συνθέσεως, βιβλ.
Περὶ Συνθέσεως φαρμάκων, βιβλ.
Περὶ τῶν Εὐποριστων ὀνομαζομένων, βιβλ.
Περὶ τῶν κοινῶν καὶ Ἰδίων ἑκάστου μορίου καὶ πάθους, βιβλλ.

Τούτων μέμνηται ἐν τῷ ιδ' τῆς Θεραπευτικῆς· ἐπὶ τῇ τελευτῇ δὲ τῆσδε τῆς Πραγματείας τὴν χειρουργίαν ἐπραγματεύσατο.

Θεραπευτικῆς Μεθόδου, βιβλ. ιδ'.
Περὶ Ὑγιεινῶν, βιβλ.
Περὶ τῆς ἀρίστης αἱρέσεως, βιβλ.

Καὶ αὗται μὲν αἱ Πραγματεῖαι τοῦ Γαληνοῦ ἐνταῦθ' ὑποστορεθεῖσαι, ὡς ἐν τῷ τέλει ἔκειντο, καθ' ὃ εἴρηκα Ἀντίγραφον, τῆς Μικρὰ τέχνη ἐπιγραφομένης αὐτοῦ πραγματείας. Ἐπιστήσας δ' ἔπειτα τῇ ἐκδεδομένῃ, καὶ ἐπιγεγραμμένῃ Τέχνη Ἰατρικὴ, κατεῖδον ταύτην εἶναι τὴν ἐν τῷ Ἀντιγράφῳ φερομένην Μικρὰν τέχνην, περιέχουσαν ἑκατόν που κεφάλαια· μεθ' ἃ κεῖται καὶ ὁ Κατάλογος τῶν τοῦ Γαληνοῦ βιβλίων, ὡς ἔχει καὶ τῷ Ἀντιγράφῳ πλὴν τῶν ἐν αὐτῷ δύω τῶν περὶ Εὐποριστων. Καὶ καλῶς ἔχει ἐν ταῖς γεννησομέναις ἐκδόσεσι τῶν τοῦ Γαληνοῦ, ἐπιγράφειν Μικρὰ τέχνη τὸ τέως Τέχνη Ἰατρικὴ ἐπιγραφόμενον.

Ἀλλ' οἶμαι εἴρηται ἅλις περί τε ἀρχῆς καὶ προόδου τῆς διαλεκτικῆς, καὶ δι' ὧν ἡμῖν δέδεικται τήν τε παροῦσαν Διαλεκτικὴν εἰσαγωγὴν καὶ τὴν τῶν Εὐποριστων πραγματείαν, τοῦ Γαληνοῦ αὐτοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Ζ. ΙΩΑΝΝΙΝΑ 2006

εἶναι, καὶ οὐκ ἄλλου. Εἰ δέ τῳ δόξειεν· οὐ γὰρ τοῖς ἀληθῶς ἐν Εὐρώπῃ φιλοσοφοῦσι, βιαιότερον ἡμῖν λελέχθαι τι περὶ Διαλεκτικῆς καὶ Ῥητορικῆς διεξερχομένοις, γνώμης ἁμαρτάνοντι ἔοικε· Δίκαιοι γὰρ τὴν τούτου αἰτίαν ἀποφέρεσθαι οἱ πρῶτοι καταργήσαντες τῶν μαθημάτων τὰ κάλλιστα. Ἡμεῖς γὰρ ὡς Εἴ τινες θεαταί τινων οὐ καλῶς πεττευόντων ἐπιστήσαντες τοῖς καθ' ἡμᾶς διαλεγομένοις καὶ ῥητορεύουσι, καὶ ἡλίκων ὄντων τῶν κατ' Εὐρώπην συμφερόντων πολιτικῶν τε ἅμα καὶ ἰδιωτικῶν, τῶν τε γνώσεων τῶν ἀνθρωπίνων καὶ τῆς εὐνομίας, εἴπέρ ποτε καὶ νῦν, πεπληθυσμένων, δι' ὀσίχου ὅμως ἑρμηνέως ἐξαγγελλομένων, οὐδέποτ' ἐπαυσάμεθα τὰ δοκοῦνθ' ἡμῖν ἀποφαινόμενοι ἔν τισι τῶν πραγματειῶν, ἃς γαλλιστὶ συνεταξάμεθα, ἔν τε τῇ Ὀρθοφωνίᾳ, καὶ τῇ Θεωρίᾳ τῆς γραμματικῆς, καὶ τῇ τοῦ Ἀριστοτέλους ῥητορικῆς μεταφράσει, καὶ τῇ τῶν ἐπιστολῶν τοῦ Παύλου. Φιλάνθρωπον γὰρ τὸ μὴ ἐθέλειν σιγῇ καὶ λήθῃ παραδοῦναι, ἅ τις κάτοιδε μὴ ἀξύμφορα τοῖς ἄλλοις ἐσόμενα, καθὰ δὴ καὶ μισάνθρωπον τὸ ταῦτ' ἐς ἀφανὲς ἐγκατορύττειν. Ἅπερ δὴ καὶ οἱ τῶν σοφῶν ἐπιεικέστεροι οὐκ ἀπεδοκίμασαν· οἷς τε μὴ ταῦτα ξυνέδοξεν, ἐφ' οἷς οὐκ ἀντεῖπον κατηγορικῶς, ξυνωμολόγησαν. Τὸ μὲν γὰρ ἀντιλέγειν παντὶ ἔξεστι, καὶ ἀσόφῳ, καὶ ἰδιωτεύοντι, τὸ δὲ ὀρθῶς, τοῖς σοφοῖς ταλαντεύεται· Πέποιθα μέντοι, τῆς Ἑλληνικῆς σοφίας ἐν Γαλλίᾳ προοδευούσης, διὰ τὴν ἐπιμέλειαν καὶ φιλοτιμίαν τῶν τῆς δημοσίου διδασκαλίας ὑπουργῶν καὶ Συμβουλίου, καὶ μάλιστα τοῦ νῦν ταύτην διαιτοῦντος σοφοῦ Βιλλεμαίνους, τὴν Καλλιόπην ἐπιστᾶσαν πιερίηθεν ἐπάσασθαι ἐναρμόνιον, καὶ τὰς ἀνὰ πᾶσαν τὴν Εὐρώπην Μούσας συναπηχήσειν τὸ ὁμοιόφθογγον.

Ἀλλὰ καταβάλλωμεν τὴν Προθεωρίαν ταύτην, ἐπιμνησθέντες φίλων τε καὶ σεβασμίων ἀνδρῶν, οἵπερ, τόγ' ἐφ' ἑαυτοῖς, κατὰ τὴν ἐμὴν ἀποστολὴν, ἀγαθοὶ ὄντες ἐφάνησαν,

ἠδὲ φιλόξενοι· ἦ γάρ σφιν νόος ἦν γε θεουδής,

πρὸς ἀνάσωσιν τῶν ἀπολλυμένων ἀρχαιοτήτων, καὶ τὴν ἐντεῦθεν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ. Δ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς πᾶσιν ἐσομένην ὠφέλειαν, ὁδηγήσαντες καὶ ὑποδείξαντες, ποῦ ἂν εἶεν ζητητέαι, καὶ λόγοις καὶ ἐπιστολαῖς συστησάμενοι. Φημὶ δὴ τὸν πατριαρχεύσαντα Γρηγόριον, καὶ τὸν νῦν Ἰωακεὶμ Ἰωανίνων, καὶ τὸν Διδοιμοτοίχου Βησσαρίωνα, τόν τε πρώην Δράμας, νῦν δὲ Δέρκων Νεόφυτον, καὶ τὸν Κασσανδρείας Ἰάκωβον, ἄνδρας τῷ Ἀνατολικῷ κλήρῳ τιμὴν φέροντας, οὐχ ἧττόν τε μαθήσει διαπρέποντας, καὶ δεινοὺς χρήσασθαι πράγμασιν· Οὐκ ἐπιλήσομαι δὲ καὶ τοῦ κατὰ Θεσσαλονίκην Μιχαὴλ Βάρδα, ὅς γε δι' ἐπιτροπικοῦ μοι γράμματος φροντιστὴς καταστὰς τοῦ παραλαβεῖν τὸν ἐν ταύτῃ τῇ πόλει ἐωνημένον μοι μνημεῖον, ὃ κατὰ τὴν Εὐρώπην κοινότερον Σαρκοφάγον λέγομεν, κατεπάλαισε τοὺς ἀντιζήλους, καὶ ἐδήλωσε καλῶς, ἐν τριάκοντι ἔτεσιν ἔχων τιμὴν ἑρμηνέως κατὰ τὸ Γαλλικὸν προξενεῖον, πιστότατα ὑπηρετήσας τῇ Γαλλίᾳ. Προσειρήσθων δὲ καὶ οἱ ἐκεῖ ἔντιμοι ἔμποροι αὐτάδελφοι Abbott. Τῷ δὲ ἐν Σέῤῥαις τῆς Μακεδονίας Θεοδώρῳ Δούμπα, καὶ πλείστη μοι χάρις ὀφείλεται ἐπὶ τῇ πρὸς ἐμὲ τῶν καλῶν προαιρέσει. Τοῦ δὲ ἐν Λιβούρνῳ μεγαλεμπόρου Κωνσταντίνου Τουσίσσα καὶ πάνυ ἄγαμαι τὸ εὐγενὲς φρόνημα, τοῖς ἀλλαχόσε φίλοις αὐτοῦ με συστήσαντος. Ἀγνωμοσύνης δ' ἁλώσομαι, ἤν περ σιγῇ παρέλθω καὶ τὸν χαριέστατον Γεώργιον Κωνσταντινιάδην Γραμματέα τοῦ Ἱεροσολύμων Πατριαρχείου, ὅς γε τῆς ἐν αὐτῷ βιβλιοθήκης καὶ ἀκριβῆ κατάλογον διὰ τῶν ὑπογραμματέων αὐτοῦ τῶν ἀντιγράφων κατελογίσατο.

Τοῖς δὲ τῶν ἱερῶν Μοναστηρίων, καὶ μάλιστα τῶν κατὰ τὸν Ἄθω, ὁσίοις καὶ μεγάλας οἶδα τὰς χάριτας, ὑποδεξαμένοις με φιλικώτατα. Καὶ εἰρήσθων μοι ἐν Λαύρᾳ μὲν ὁ προσκυνητὴς Γρηγόριος, καὶ ὁ Γραμματεὺς Μελχισεδὲκ, φίλων γεγονὼς

« ὄχ' ἄριστος, »

καὶ ἑλληνικῆς παιδείας εὖ ἥκων, καὶ πραγμάτων ἔμπειρος. Ἐν δ' Ἰβήρων Γαβριὴλ ὁ ἐλλόγιμος Γραμματεὺς σὺν τῷ πανοσιωτάτῳ Γρηγεντίῳ, καὶ ἀγαθῷ Προκοπίῳ τοῖς προεστηκόσι, καὶ Γεραρῷ Δανιήλ. Λέξω δὲ καὶ τὸν ἐν Χιλανταρίῳ, τὸν ἀμφοτεροδέξιον Εὐθύμιον,

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΚΑΤΑΓΡΑΦΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΙΑΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σὺν τῷ καλῷ Γεδεῶνι. Οὐ δὲ δίκαιον σιγῇ παρελθεῖν τὸν ἐν ξηροποτάμῳ Πορφύριον τὸν ἐκ Χίου, καὶ τοὺς ἐν Δοχειαρείου, Μητροφάνην τε τὸν προεστῶτα, καὶ τὸν Μουσικὸν Κοσμᾶν· τούς τε Ἐσφιγμενίτας, τὸν ἰατρὸν, ἀγαθὸν Μακάριον, καὶ Ἀγαθάγγελον Ἡγούμενον, καὶ Ἀνανίαν τὸν πνευματικόν· καὶ τοὺς ἐν Ζωγράφου Ἰωαννίκιόν τε καὶ τοὺς λοιποὺς σὺν τῷ Γενναδίῳ. Οὗτοι γὰρ, καὶ οἱ λοιποὶ τῶν ἐν ταῖς ἄλλαις Μοναῖς, οὓς ἤδη παρίημι, πρὸς τῷ εὐμενεῖ τῆς ὑποδοχῆς, καὶ διὰ τιμῆς ἦγον· ὡς πολλάκις με συνειδότα τὸ, παρ' ἀξίαν, καὶ ὑποδεχόμενον, καὶ προπεμπόμενον, ἐπιλέγειν δακρύοντα τὸ,

« Μή τι θεοῖς ἀμπλακὼν,
« Τιμὰν παρ' ἀνθρώποις ἐφεῦρον;

Ὑμᾶς δὲ τοὺς ἐν τῇ Βατοπαιδίου, ἅπαντας μὲν, ἰδίως δὲ τὴν ὁσίαν δυάδα, σεβαστέ μοι Θεόκλητε, καὶ ἀγαπητὲ Νικηφόρε Γραμματεῦ, τί ἀγαθὸν εἰπὼν, ὀρθῶς ἂν προσείποιμι; Οἵγε καὶ εὖ ἔχοντα, ὡς ἀδελφὸν ὑπεδέχεσθε, καὶ νόσῳ δεινῇ προςπαλαίσαντα, οὐ μόνον ἐπεσκέπτεσθε παραμυθούμενοι, ὡς ὑπὸ τοῦ Σωτῆρος ἐντέταλται, ἀλλὰ καὶ συμπαρόντες περιεθάλπετε ὡς νοσσιὰν κινδυνεύουσαν, πλεῖον πατρὸς καὶ μητρὸς, ἐπιδεικνύμενοι τὸ φιλόστοργον; ἧς ἀγαθότητος μεμνημένον πολλάκις λύπη τε ἅμα καὶ γλυκυθυμία εἰσδύει με, ὡς ῥάναι καὶ δάκρυα· Ὑμᾶς μὲν οὖν ἅτε καὶ μείζω ἢ κατ' ἀρετὴν δρῶντας καὶ δράσαντας, μείζους καὶ ἀμοιβαὶ αἰώνιοι ἀπεκδέχονται· ἐγὼ δὲ τὰ καθ' ὑμᾶς διακηρύττων οὐ παύσομαι, ἔστ' ἂν τὸ περιέχον ἀναπνεύσω, καὶ τὸ εὔγνωμον ἕξω διὰ βίου ἀείμνηστον.

Ἐν Παρισίῳ
τῇ ιεʹ θαργηλιῶνος, ͵αωμδʹ.

ΜΗΝΑΣ Ο ΜΙΝΩ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006